## 20. THE DEPARTURE INTO GALILEE (Matt-Mark Identical)

| Matt 4:12-17 | Mark 1:14, 15 |
| --- | --- |
| *᾿Ακούσας δὲ ὅτι ᾿Ιωάννης παρεδόθη* | *Μετὰ δὲ τὸ παραδοθῆναι τὸν ᾿Ιωάννην* |
| *ἀνεχώρησεν* | *ἦλθεν ὁ ᾿Ιησοῦς* |
| *εἰς τὴν Γαλιλαίαν.* | *εἰς τὴν Γαλιλαίαν* |
| *13 καὶ καταλιπὼν τὴν Ναζαρὰ ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλίμ· 14 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ ᾿Ησαΐου τοῦ προφήτου λέγοντος,*<br>*15 Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλίμ, ὁδὸν θαλάσσης, πέραν τοῦ ᾿Ιορδάνου, Γαλιλαία τῶν ἐθνῶν,*<br>*16 ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδεν μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς.*<br>*17 ᾿Απὸ τότε ἤρξατο ὁ ᾿Ιησοῦς* | |
| *κηρύσσειν* | *κηρύσσων* |
| | *τὸ εὐαγγέλιον τοῦ θεοῦ* |
| *καὶ λέγειν,* | *15 καὶ λέγων* |
| | *ὅτι Πεπλήρωται ὁ καιρὸς* |
| *Μετανοεῖτε,* | |
| *ἤγγικεν γὰρ* | *καὶ ἤγγικεν* |
| *ἡ βασιλεία τῶν οὐρανῶν.* | *ἡ βασιλεία τοῦ θεοῦ·* |
| | *μετανοεῖτε καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.* |

14 words out of 114 words = 12%